Εὐρι. Οὐδ' ἂν μὰ τὴν Δήμητρα, φροντίσαιμί γε,
Νυνὶ γὰρ αὐτοῦ τουτογὶ ἐκκεκόψεται.
Αἰ. Ἴθι δὴ λέγ' ἕτερον, κἀπέχου τῆς Ληκύθου.
Εὐρι. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς. Αἰ. Ληκύθιον ἀπώλεσεν.
Δι. Ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν Λήκυθον,
Ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. Εὐριπ. τὸ τί.
Ἐγὼ πρίωμαι τῷδ'. Δι. ἐὰν πείθῃ γ' ἐμοί.
Εὐ. Οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἕξω λέγειν,
Ἵν' οὗτος οὐχ ἕξει προσάψαι Λήκυθον.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
Θοαῖσιν ἵπποις. Αἰ. Ληκύθιον ἀπώλεσεν.
Δι. Ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν Λήκυθον,
Ἀλλ' ὦ 'γάθ' ἔτι καὶ νῦν ἀπόδος πάσῃ τέχνῃ.
Λήψει γὰρ ὀβολοῦ, πάνυ καλήν γε κἀγαθήν.
Εὐριπ. Μὰ τὸν Δί' οὔπω γ'. ἔτι γὰρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ' ἐκ γῆς. Αἰσχ. Ληκύθιον ἀπώλεσεν.
Εὐ. Ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.
Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν.

A *EV. Non curo quicquam, ita me maxima Ceres amet.*
*Nam nunc adeò excutietur hic illi è manu.*
*ÆS. Age tu dic alium, & bene caueas à Lecytho.*
*EV. Sidonio quondam rex Cadmus egressus solo,*
*Agenore satus. ÆS. Lecythulum deperdidit.*
B *BA. Hominum miserrime, quæso eme istum Lecythum:*
*Ne prologos nobis defricet. EV. quid: egóne emam*
*Hanc Lecythum? BA. si me audias. EV. minimè omnium.*
*Nam multò plures potero recitare prologos,*
*Vbi ille suam nequit applicare Lecythum.*
*Pisam profectus Tantali natus Pelops,*
C *Veloce curru. ÆS. Lecythulum deperdidit.*
*BA. Vides? iterum ille accommodauit Lecythum.*
*Age mi vir Æschyle, vende hanc omni modo:*
*Namque vno obolo emes aliam tibi pulcram & probam.*
*EV. Non per Iouem: quia adhuc mihi sunt quàm plurimi:*
D *Oeneus ab agro. ÆS. Lecythulum deperdidit.*
*EV. Sine me priùs versiculum totum absoluere.*
*Oeneus ab agro colligens spicam vberem,*

Σχόλια. Κἀπέχου.] τουτέστι σκόπει μὴ τοιοῦτόν τι εἴπῃς, ὡς προσαφθῆναι τούτῳ δύνασθαι Λήκυθον. Σιδώνιόν ποτ' ἄστυ.] Σιδὼν πόλις ἐστὶ Φοινίκης. ἔστι δὲ τοῦ β Φρίξου Εὐριπίδου ἡ ἀρχή. τὸ λοιπὸν δὲ τοῦ στίχου. ἵκετ' ἐς Θήβης πέδον. οὐ χεῖρον δ' ἂν εἴη καὶ τὸν Κάδμῳ δοθέντα χρησμὸν ὥσπερ τι ἐπεισόδιον εἰσενεγκεῖν οὕτως ἔχοντα.

E Φράζεο δή μοι μῦθον Ἀγήνορος ἔκγονε Κάδμε.
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθῶ δίαν.
Ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί.
Τὴν διά τε Φλεγύων καὶ Φωκίδος. εὖτ' ἂν ἵκηαι.
Βουκόλον ἠδὲ βόας κρειστεφεῖς πελάγοντος.
Ἔνθα δὲ προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον.
Ἧκεν δὴ νώτοισι μετ' ἀμφοτέροισιν ἔχῃσι.
F Λευκὸν σῆμ' ἑκάτερθε περίπλοκον ἠύτε μήνης.
Τὴν δὲ σὺ ἡγεμόνα χρεῖν ἀτρέπτοιο κελεύθου.
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές. οὐδέ σε λήσει.
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο.
Ἥξῃ τε κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
Ἁγνῶς καὶ καθαρῶς. γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
Δεινὸν ἐνυαλίου πέμψας φύλακ' ἄϊδος εἴσω.
G Καὶ σύ γ' ἐπ' ἀνθρώπους ὄνομα κλυτὸς ἔσσεαι αὖθις,
Ἀθανάτων λεχέων ἀντήσας ὄλβιε Κάδμε.

Ἀποπρίω τὴν Λήκυθον.] ἤτοι πρὸς Εὐριπίδην ὁ λόγος. ὅτι ἀγόρασον παρ' Αἰσχύλου τὴν Λήκυθον. ἢ πρὸς Αἰσχύλον, ὥστε πωλῆσαι. ὥσπερ εἶπεν ὠνῆσαι αὐτὴν καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας. τὸ γὰρ πρίω ἐν ἴσῳ τῷ ὠνῆσαι. ἀλλ' ἐν τοῖς ἑξῆς φησιν Εὐριπίδης, ἐγὼ πρίωμαι τῷδε. ὥστε ματαία ἡ παρατήρησις τοῦ Συμμάχου. Ἐγὼ πρίωμαι τῷδε.] ἀντὶ τοῦ ἀγοράσω τὴν Λήκυθον καὶ ἀποδόσω τὴν ἀπολωλυῖαν. δῆλον γέγονεν ὅτι τὸ ἀποπρίω, ἀντὶ τοῦ ἐξώνησαι. λέγει δὲ τοῦτο ἐπεὶ συνεχῶς ἐκεῖνος, Ληκύθιον ἀπώλεσεν. τὸ δὲ πρίωμαι, ἴσον τῷ ὠνήσωμαι. Θοαῖσιν ἵπποις.] τὸ δὲ λοιπὸν τοῦ ἰάμβου, Οἰνομάου γαμεῖ κόρην. Ἰφιγενείας δὲ τῆς ἐν Ταύροις ἡ ἀρχὴ αὕτη. Ἀπόδος πάσῃ τέχνῃ.] Ληκύθιον αὐτῷ ἀπόδος ἀντὶ τῆς ἀπολομένης. ἐπιλέγει δὲ λήψει ὀβολοῦ πάνυ καλήν. διὰ τούτων δὲ ὁ Διόνυσος ἐμφαίνει, ὡς ἐπεὶ ἐν τοῖς προλόγοις τοῖς σοῖς ἀποδίδοται ἡ Λήκυθος, ὥσπερ δοκεῖς αὐτὴν ὀφείλειν Αἰσχύλῳ. οὐκοῦν ἀγοράσας ταύτην ἀπόδος αὐτῷ. Οἰνεύς ποτ' ἐκ γῆς.] ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς. ἡ δὲ ἀρχὴ τοῦ δράματος. Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός. τὸ δὲ λοιπὸν τοῦ στίχου. οὐκ ἔθυσεν Ἀρτέμιδι. Οἰνεὺς δὲ τῆς αὐτοῦ γῆς εὐφορήσας ἀπαρχὰς πᾶσι θεοῖς θύσας, Ἀρτέμιδι οὐκ ἔθυσεν. ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν, ἵνα ταύτην λυμαίνηται. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν, καὶ τῷ κρατήσαντι τῆς θήρας τὴν δορὰν δώσειν ἀριστεῖον ὑπέσχετο. συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. ἐπεὶ δὲ τὸ δέρας τῇ Ἀταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ Μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι, ἀγανακτοῦντες εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν Ἀταλάντης ἀφείλοντο, ὑπὸ δὲ Μελεάγρου ἐφονεύθησαν, ὀλίγον ὕστερον καὶ αὐτοῦ τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης καὶ ἀναψάσης τὸν μοιρῶν δαλόν, ἀποθανόντος.